μου ἐπ᾽ αὐτοὺς εἰς κακὰ καὶ οὐκ εἰς ἀγαθά. 5 καὶ κύριος κύριος ὁ 5
θεὸς ὁ παντοκράτωρ, ὁ ἐφαπτόμενος τῆς γῆς καὶ σαλεύων αὐτήν,
καὶ πενθήσουσιν πάντες οἱ κατοικοῦντες αὐτήν, καὶ ἀναβήσεται ὡς
ποταμὸς συντέλεια αὐτῆς καὶ καταβήσεται ὡς ποταμὸς Αἰγύπτου·
6 ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν ἀνάβασιν αὐτοῦ καὶ τὴν ἐπαγγελίαν 6
αὐτοῦ ἐπὶ τῆς γῆς θεμελιῶν, ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θα-
λάσσης καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς· κύριος ὁ θεὸς ὁ
παντοκράτωρ ὄνομα αὐτῷ. 7 οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστε ἐμοί, 7
υἱοὶ Ισραηλ; λέγει κύριος. οὐ τὸν Ισραηλ ἀνήγαγον ἐκ γῆς Αἰγύ-
πτου καὶ τοὺς ἀλλοφύλους ἐκ Καππαδοκίας καὶ τοὺς Σύρους ἐκ
βόθρου;
8 Ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου τοῦ θεοῦ ἐπὶ τὴν βασιλείαν τῶν 8
ἁμαρτωλῶν καὶ ἐξαρῶ αὐτὴν ἀπὸ προσώπου τῆς γῆς· πλὴν ὅτι
οὐκ εἰς τέλος ἐξαρῶ τὸν οἶκον Ιακωβ, λέγει κύριος. 9 διότι ἰδοὺ 9
ἐγὼ ἐντέλλομαι καὶ λικμιῶ ἐν πᾶσι τοῖς ἔθνεσιν τὸν οἶκον τοῦ
Ισραηλ, ὃν τρόπον λικμᾶται ἐν τῷ λικμῷ καὶ οὐ μὴ πέσῃ σύν-
τριμμα ἐπὶ τὴν γῆν. 10 ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες ἁμαρτωλοὶ 10
λαοῦ μου οἱ λέγοντες Οὐ μὴ ἐγγίσῃ οὐδ᾽ οὐ μὴ γένηται ἐφ᾽ ἡμᾶς
τὰ κακά. 11 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαυιδ τὴν 11
πεπτωκυῖαν καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς καὶ τὰ κατ-
εσκαμμένα αὐτῆς ἀναστήσω καὶ ἀνοικοδομήσω αὐτὴν καθὼς αἱ ἡμέ-
ραι τοῦ αἰῶνος, 12 ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων 12
καὶ πάντα τὰ ἔθνη, ἐφ᾽ οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτούς,
λέγει κύριος ὁ θεὸς ὁ ποιῶν ταῦτα. 13 ἰδοὺ ἡμέραι ἔρχονται, λέγει 13
κύριος, καὶ καταλήμψεται ὁ ἀλοητὸς τὸν τρύγητον, καὶ περκάσει ἡ
σταφυλὴ ἐν τῷ σπόρῳ, καὶ ἀποσταλάξει τὰ ὄρη γλυκασμόν, καὶ
πάντες οἱ βουνοὶ σύμφυτοι ἔσονται· 14 καὶ ἐπιστρέψω τὴν αἰχμα- 14
λωσίαν λαοῦ μου Ισραηλ, καὶ οἰκοδομήσουσιν πόλεις τὰς ἠφανι-
σμένας καὶ κατοικήσουσιν καὶ καταφυτεύσουσιν ἀμπελῶνας καὶ πί-
ονται τὸν οἶνον αὐτῶν καὶ φυτεύσουσιν κήπους καὶ φάγονται τὸν
καρπὸν αὐτῶν· 15 καὶ καταφυτεύσω αὐτοὺς ἐπὶ τῆς γῆς αὐτῶν, 15
καὶ οὐ μὴ ἐκσπασθῶσιν οὐκέτι ἀπὸ τῆς γῆς αὐτῶν, ἧς ἔδωκα αὐ-
τοῖς, λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ.

6 της $1^0$ > A | προσωπου AQ*L* | ο θεος ο > BW*C*: cf. Nah. 3 5 || 7 εμου B† || 8 ιακωβ] ισραηλ AW || 9 ιδου > B | λικμιω A(κ>A*)QW] -μησω B*LC* | του ισρ. AW] του > BQ*LC* | λικμω] λικνω BW† || 10 ουδ ου AQW] ουδε B*LC* || 11 κατεστραμμενα A^c^Q† || 12 οπως] + αν A | ανθρωπων] + τον κυριον A | ο θεος AW] > BQ*LC* || 13 αλοητος] αμητος BQW: cf. Leu. 26 5 || 14 λαου] pr. του A | αμπελωνας] ς > B*† | φυτευσουσιν] pr. κατα A†, ποιησουσι(ν) *LC* | τους καρπους BW† || 15 αυτων ult. > B(W?)†
Subscr. αμως β′ BA: cf. inscr.